Ἀθηναίοις κατὰ φυλὰς ἐπρυτάνευον· οἱ οὖν τῆς φυλῆς καὶ τὰς ψήφους ἠρίθμουν, πόσαι μὲν αἱ λευκαί, πόσαι δὲ αἱ μέλαιναι· ὁ οὖν Σωκράτης φησίν, ὅτι πάλαι ἐγὼ ὢν ἐπὶ τῶν ψήφων τοσοῦτον κατεφρόνουν τούτων, ὅτι οὐδὲ ᾔδειν, πόσαι μὲν αἱ λευκαί, πόσαι δὲ αἱ μέλαιναι καὶ λοιπὸν κατεγέλων μου ὡς μὴ θέλοντος τῷ πλήθει διαλέγεσθαι· καὶ ἄξιον ζητῆσαι, τί δήποτε λέγει, ὅτι οὐ διαλέγομαι τῷ πλήθει· καὶ μὴν ἐν τῷ Κλειτοφῶντι διαλέγεται αὐτῷ λέγων, ὅτι ἄνθρωποι ποῦ φέρεσθε. λέγομεν οὖν, ὅτι ἔστιν καὶ παραινετικῶς διαλεχθῆναι· οὐ διαλέγεται οὖν ἀποδεικτικῶς ἀλλὰ παραινετικῶς· οὐ δύνανται δὲ οἱ πολλοὶ ἀκοῦσαι ἀποδείξεως, ἐπειδὴ περὶ ἕν τι οὐκ ἔχουσιν, ἀλλ' ἄλλος ἄλλην ἔχει δόξαν. πῶς οὖν δυνατὸν ἀποδείξει μὴ οὔσῃ περὶ ἓν χρήσασθαι; λέγει τοίνυν ὁ Πῶλος, ὅτι ἄμεινόν ἐστιν ἀδικεῖν μόνον καὶ μὴ ἀδικεῖσθαι, πρὸς ὅ φησιν ὁ Σωκράτης, ὅτι καὶ σύ, ὦ Πῶλε, καὶ πάντες ἴστε, οὐκ ἐγὼ μόνος, ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν· καὶ ἄξιον ζητῆσαι, διὰ τί εἶπεν τοῦτο· καὶ μὴν ὁ Πῶλος ἔφη ἀδικεῖν μᾶλλον ἢ ἀδικεῖσθαι· φαμέν, ὅτι πάντες κατὰ κοινὴν ἔννοιαν τὸ ἀγαθὸν διώκομεν· εἰ τοίνυν φησίν· ὦ Πῶλε καὶ σὺ καὶ πάντες οἱ κατὰ σὲ ἀκολουθήσωσι ταῖς κοιναῖς ἐννοίαις, τὸ ἀγαθὸν προσαγκαλίσονται καὶ βουληθείησαν ἀδικηθῆναι μᾶλλον ἢ ἀδικῆσαι.

p. 473 d. μορμολύττῃ αὖ.

3 ἔκλυτον αὐτὸν ποιεῖ διὰ τοῦ εἰπεῖν, ὅτι μορμολύττῃ ἀντὶ τοῦ ὡς παιδίον φοβῇ καὶ οὐ θέλεις ἐλέγχειν.

---

8 Clitoph. 407 b

---

μὲν πρῶται δ' ἀνὰ λϛ' ἡμέρας ἐλάμβανον, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λε' ὡς ὁμοῦ συνάγεσθαι τὰς τνδ'· ὁ ἀριθμὸς οὖν τῶν ἡμερῶν ἑκάστης φυλῆς πρυτανεία ἐλέγετο, καὶ οἱ κατ' αὐτὸν διοικοῦντες πρυτάνεις ν' τὸν ἀριθμὸν ὄντες τὸ δέκατον μέρος τῆς τῶν φ' βουλῆς

**6** mg. ἀπορία **9** mg. λύσις **17** mg. ἀπορία **18** mg. λύσις

---

**8. 9** ἄνθρωποι ποῦ φέρεσθε **M** ποῖ φέρεσθε ἄνθρωποι codd. Plat. **23. 24** μορμολύττῃ codd. Plat., μορμολυττῇ **M**